## ΣΑΒΒΑΤΟΝ 13 ΜΑΪΟΥ 2017

«Μετὰ τὴν ἑορτὴν τῆς Μεσοπεντηκοστῆς».

Γλυκερίας μάρτυρος (†177). Σεργίου ὁμολογητοῦ, Παυσικάκου ἐπισκόπου Συνάδων (Ϛ΄ αἰ.).

* * * * *

## ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΤΗΣ Δ΄ ΕΒΔΟΜΑΔΟΣ

## ΕΣΠΕΡΑΣ

Μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα, τό, Χριστὸς ἀνέστη... γ΄, τὸν Προοιμιακὸν Ψαλμόν. Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν Στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς ἑορτῆς γ΄, καὶ Προσόμοια γ΄ ἐκ τοῦ Μηναίου.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. α΄. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ὁ ποιητὴς τῶν ἁπάντων, καὶ τῆς ζωῆς χορηγός, ὁ τῷ Πατρὶ τῷ θείῳ, συναΐδιος Λόγος, ἑκὼν ἐκ τῆς Παρθένου, σάρκα λαβών, καὶ γενόμενος ἄνθρωπος, τὰ τῆς ἀῤῥήτου, σοφίας ὡς ἀγαθός, πᾶσιν ἔβλυσε διδάγματα.

Στίχ. β΄. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Τῆς Ἑορτῆς μεσαζούσης, τῶν Ἰουδαίων Χριστέ, τῷ ἱερῷ ἐπέστης, ὁ τοῦ νόμου Δεσπότης, διδάσκων ἐξουσίᾳ, καὶ Γραμματεῖς, διελέγχων, ὡς γέγραπται· καὶ καταπλήττων σοφίᾳ λόγων τῶν σῶν, καὶ θαυμάτων ἐπιδείξεσιν.

Στίχ. γ΄. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὁ χορηγὸς τῆς σοφίας, καὶ τῶν καλῶν παροχεύς, ὁ χέων θεῖα ῥεῖθρα, ἐκ πηγῆς ἀενάου, Δεῦτε πρός με, κράζει, ὕδωρ ζωῆς, οἱ διψῶντες ἀρύσασθε· καὶ ποταμοὶ ἐκ κοιλίας ὑμῶν, φησί, χαρισμάτων θείων ῥεύσουσι.

Καὶ ἐκ τοῦ Μηναίου, Στιχηρὰ Προσόμοια γ΄.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στίχ. δ΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Διὰ πόνων ἀθλήσεως, τὸν Δεσπότην νενύμφευσαι, παρθενίας κάλλεσι διαλάμπουσα· καὶ ὥσπερ προῖκα προσήγαγες, αὐτῷ πανaοίδιμε, τῶν μελῶν τὴν ἐκκοπήν, καὶ τὸν βίαιον θάνατον· ὅθεν ἔτυχες, οὐρανίων θαλάμων Γλυκερία, δυσωποῦσα τοῦ σωθῆναι, τοὺς σὲ πιστῶς μακαρίζοντας.

Στίχ. ε΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Ὡς ἀνδρεῖον τὸ φρόνημα, καὶ γενναία ἡ ἔνστασις, τῆς ψυχῆς σου ἔνδοξε ἐναπέφηνεν· ἐν ἀσθενείᾳ γὰρ σώματος, προθύμῳ δὲ πνεύματι, τὸν ἀρχέκακον ἐχθρόν, κατεπάτησας λέγουσα· Σὺ εἶ Κύριε, ἡ ἰσχὺς καὶ τὸ κλέος τῶν σῶν δούλων, ὁ δυνάμει ἀηττήτῳ, τὸν ἰσχυρὸν τροπωσάμενος.

Στίχ. Ϛ΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Οὐ λιμός, οὐδὲ κίνδυνος, ἀλγεινῶν τε ἐπίτασις, τῆς ἀγάπης ἔνδοξε οὐ κατίσχυσαν, Χριστοῦ χωρίσαι ἀοίδιμε, οὐ κάθειρξις βίαιος, οὐδὲ κάμινος πυρός, οὐ τῶν λίθων κατάστρωσις· ὅθεν δέδεξαι, ἐκ Θεοῦ θείαν δρόσον Γλυκερία, καὶ ἐκ γῆς καὶ τῶν γηίνων, πρὸς τὴν Ζωὴν μεταβέβηκας.

Δόξα. Ἦχος α΄.

Πεντηκοστῆς ἐφέστηκεν ἡ τῶν ἡμερῶν μεσότης, ἐν ᾗ Χριστός, παραγυμνώσας ἀμυδρῶς θεϊκὴν δυναστείαν, Παράλυτον συνέσφιγξε, λόγῳ αὐτὸν τῆς κλίνης ἐξαναστήσας· καὶ θεοπρεπῶς θαυματουργῶν, ἐν ὀστρακίνῳ σώματι, τοῖς ἀνθρώποις ἐδωρήσατο, τὴν αἰώνιον ζωήν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ´.

Πῶς μὴ θαυμάσωμεν, τὸν θεανδρικόν σου τόκον, Πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη, Πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν· ἀλλ᾽ ἑκατέρας οὐσίας τὴν ἰδιότητα σῶαν φυλάξαντα. Διό, Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

* * *

Εἴσοδος καὶ ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

Τῇ Παρασκευῇ ἑσπέρας.
Ἦχος βαρύς. Ψαλμὸς νη´.

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ· τὸ ἔλεός σου προφθάσει με. (νη´ 10-11)

Στίχ. α´. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με. (νη´ 2)

Στίχ. β´. Ῥυσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. (νη´ 3)

* * *

Εἶτα ἡ συνήθης Ἐκτενής, τό, Καταξίωσον, τὰ Πληρωτικά, ἡ κεφαλοκλισία κ.λπ.

* * *

Εἰς τὸν Στίχον, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος γ´.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτήρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται· γένος δὲ ἀνθρώπων, πίστει σωζόμενον, ὕμνον σοι καθ᾽ ἑκάστην προσφέρει.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.

Πεφώτισται τὰ σύμπαντα, τῇ ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται· πᾶσα δὲ ἡ κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ᾽ ἑκάστην προσφέρει.

Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Δοξάζω τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος ἁγίου, ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον, ἄκτιστον θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Στίχ. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.

Ὁ τῷ πάθει σου Χριστέ, ἀμαυρώσας τὸν ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν ἑσπερινὸν ὕμνον Φιλάνθρωπε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος α´.

Ἐν τῷ ἱερῷ ἐπέστης, ἡ σοφία τοῦ Θεοῦ, μεσούσης τῆς Ἑορτῆς, διδάσκων καὶ ἐλέγχων τοὺς ἀπειθεῖς Ἰουδαίους, τοὺς Φαρισαίους καὶ Γραμματεῖς, καὶ βοῶν παῤῥησίᾳ πρὸς αὐτούς· Ὁ διψῶν ἐρχέσθω πρός με, καὶ πινέτω ὕδωρ ζωηρόν, καὶ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα. Ὁ πιστεύων τῇ ἐμῇ χρηστότητι, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ζωῆς αἰωνίου. Ὢ τῆς ἀγαθότητος, καὶ τῆς εὐσπλαγχνίας σου, Χριστὲ ὁ Θεὸς ἡμῶν! Δόξα σοι.

* * *

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Τῆς ἑορτῆς. Ἦχος πλ. δ´.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι. (ἅπαξ)

Ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν...

Οἱ δὲ Νεκρώσιμοι Κανόνες τῶν ὅλων Σαββάτων τῆς Πεντηκοστῆς, ἐν τοῖς Ἀποδείπνοις τῶν Παρασκευῶν ψάλλονται.

* * * * *

## ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ Δ΄ ΕΒΔΟΜΑΔΟΣ

## ΠΡΩΪ

Μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα, τό, Χριστὸς ἀνέστη... γ΄, κλπ. Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. δ΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

Τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

Μεσούσης τῆς ἑορτῆς, ...

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὸν τὸ κράτος...

* * *

### ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα ἐκ τῆς Ὀκτωήχου.

Ἦχος γ΄.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων· ὁ Πρωτότοκος τῆς κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. Οὐκ ἔτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε.

Δόξα.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ Ἐγέρσει σου· καὶ τὸν ἄνθρωπον νῦν κατ᾽ αὐτοῦ ἐνίσχυσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος. Ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν Κύριε, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διά Σταυροῦ καταδεξάμενος Πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα τῆς Ἑορτῆς.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἑορτῆς μεσαζούσης τῆς νομικῆς, ἧς διδάσκων Σωτήρ μου ἐν ἱερῷ· ἐλέγχων τε τὴν ἄνοιαν, τῶν ἀπίστων Ἑβραίων, καὶ βοῶν τοῖς ὄχλοις, θείᾳ φωνῇ ὡς φιλάνθρωπος. Ὁ διψῶν ἀνέκραζες, ἐρχέσθω πρός με καὶ πινέτω· ὅθεν ἐπηγγείλω, τοῖς πιστεύουσι νέμειν, σοφίας τὰ νάματα, ἐκ πηγῆς ἀκηράτου σου. Διὰ τοῦτο βοῶμέν σοι· Κατάπεμψον Χριστὲ ὁ Θεός, μόνος τὸ πανάγιον Πνεῦμά σου, καὶ σῶσον ἡμᾶς, ὅτι ὑπάρχεις πολυέλεος.

Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

Ἑορτῆς μεσαζούσης τῆς νομικῆς, ...

* * *

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, * προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, * τὸν μόνον ἀναμάρτητον. * Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν * καὶ τὴν ἁγίαν σου ἀνάστασιν * ὑμνοῦμεν καὶ δοξάζομεν· * σὺ γὰρ εἶ Θεὸς ἡμῶν, * ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, * τὸ ὄνομά σου ὀνομάζομεν. * Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν * τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· * ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ * χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. * Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, * ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. * Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, * θανάτῳ θάνατον ὤλεσεν.

Εἶτα τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

[Ὁ Κανὼν τῆς Ἑορτῆς ὁ τοῦ δ΄ ἤχχου μετὰ τῶν Εἰρμῶν εἰς στ΄, τοῦ κατὰ τὴν Μονὴν Ἁγίου εἰς δ΄, καὶ τοῦ Μηναίου εἰς δ΄. Ἀπὸ τρίτης Ὠιδῆς, Κάθισμα τοῦ Μηναίου καὶ τῆς Ἑορτῆς· καὶ ὁ Οἶκος.]

Ὁ α΄ τῆς ἑορτῆς μετὰ τῶν εἰρμῶν εἰς δ΄,
καὶ τοῦ Μηναίου ἄνευ εἱρμῶν εἰς δ΄.

Ὁ Κανὼν τοῦ Ἦχου δ΄, οὗ ἡ Ἀκροστιχίς·
Μέσην ἑορτῶν τῶν μεγίστων αἰνέσω.
Ποίημα Θεοφάνους.

Ὠιδὴ α΄. Ὁ εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μεγάλαι τῆς ὑπὲρ νοῦν σου Δέσποτα, θείας σαρκώσεως, εὐεργεσίαι λάμπουσιν ἡμῖν, δωρεαί τε καὶ χάριτες, καὶ θεϊκαὶ λαμπρότητες, ἀγαθοδότως ἀναβρύουσαι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐπέστης, μαρμαρυγὰς Θεότητος, ἐξαποστέλλων Χριστέ, τῆς Ἑορτῆς ἐν μέσῳ προφανῶς· ἑορτὴ γὰρ χαρμόσυνος, τῶν σῳζομένων πέφυκας, καὶ σωτηρίας ἡμῖν πρόξενος.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σοφία, δικαιοσύνη, Κύριε, καὶ ἀπολύτρωσις, παρὰ Θεοῦ σὺ γέγονας ἡμῖν, ἀπὸ γῆς πρὸς οὐράνιον, διαβιβάζων ὕψωμα, καὶ Πνεῦμα θεῖον χαριζόμενος.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ σάρξ σου διαφθορὰν ἐν μνήματι, οὐκ εἶδε Δέσποτα· ἀλλ᾽ ὡς συνέστη ἄνευθεν σπορᾶς, τὴν φθορὰν οὐκ ἐδέξατο, ἀκολουθίᾳ φύσεως, ὑπερουσίως μὴ δουλεύσασα.

Κανὼν τῆς Ἁγίας Γλυκερίας.

Ποίημα Γεωργίου.

Ὠιδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν ἀρετῶν, σήμερον καὶ τῶν θαυμάτων αὐτῆς, τὸν μυστικὸν πληρώσασα, κρατῆρα ἅπαντας, Γλυκερία ἡ Μάρτυς, εἰς πόσιν εὐφροσύνης πιστοὺς προσκέκληται.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μαρτυρικαῖς, ἠγλαϊσμένη λαμπρότησι, τῷ καθαρῷ παρίστασαι, Μάρτυς νυμφίῳ σου, ψυχοφθόρων πταισμάτων, αἰτοῦσα λυτρωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

Δόξα.

Πρὸς αἰκισμούς, πρὸς ἀλγηδόνας πρὸς μάστιγας, πολυειδεῖς ἀπτόητος, Μάρτυς ἐχώρησας· συνεργοῦσαν γὰρ εἶχες, τοῦ Πνεύματος τὴν χάριν καὶ συναγήρουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Γνῶσιν Θεοῦ, ἅπαντες κατεπλουτήσαμεν, καὶ ἐπιγνόντες Δέσποινα, σὲ Θεομήτορα, καὶ Κυρίαν τιμῶμεν, τοῖς πράγμασι τοὺς λόγους ἐπισφραγίζοντες.

Τῆς ἑορτῆς. Ὠιδὴ γ΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ναμάτων ζωοποιῶν, τῇ Ἐκκλησίᾳ τὰς πηγὰς ἤνοιξας· Εἴ τις διψᾷ, πρόθυμος, ἴτω καὶ πινέτω, βοῶν Ἀγαθέ.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐκ γῆς μὲν πρὸς οὐρανόν, ἀνυψωθῆναι προφανῶς ἔλεγες, ἐξ οὐρανοῦ Πνεῦμα δέ, πέμπειν ἐπηγγείλω τὸ ἅγιον.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ φύσει ζωοποιός, καὶ ἐκ Παρθένου γεννηθεὶς Κύριος, πᾶσι πιστοῖς δεδώρηται, τὴν ἀθανασίαν ὡς εὔσπλαγχνος.

Τῆς Ἁγίας. Ὠιδὴ γ΄.
Ἦχος β΄. Στερέωσον ἡμᾶς.

Τὰ αἵματα Χριστῷ ὥσπερ ἀρώματα, καὶ μύρα κομίσασα Ἀθληφόρε, εὐωδία προσηνέχθης αὐτῷ, πλημμυροῦσα τοῖς πᾶσι τὰ ἰάματα. (δίς)

Δόξα.

Εὐφράνθη νοητῶς ἐν τοῖς ἀγῶσί σου, Μαρτύρων καλλώπισμα ὁ Δεσπότης· εὐφροσύνην ὅθεν θείαν σε, τῶν πιστῶν ταῖς καρδίαις ἐπεβράβευσεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐῤῥάγη τῆς ἀρᾶς Θεοχαρίτωτε, τὸ πάλαι μεσότοιχον καὶ ἡ ἔχθρα, ἐξηφάνισται τῷ τόκῳ σου, καὶ Ἀγγέλοις συνήφθημεν οἱ ἄνθρωποι.

Ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

Κάθισμα ἐκ τοῦ Μηναίου.

Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν νοουμένων τὸ τερπνὸν προορῶσα, τῶν ὁρωμένων τὸ ῥευστὸν παριδοῦσα, ταῖς θεϊκαῖς ὠχύρωσας ἐλπίσι τὸν νοῦν· ὅθεν πρὸς τὸ στάδιον, τῆς ἀθλήσεως Μάρτυς, χαίρουσα εἰσέδραμες, καὶ τὸν ὄφιν καθεῖλες, καὶ ἀνεπλέξω νίκης εὐπρεπῆ, ὦ Γλυκερία καὶ ἄφθαρτον στέφανον.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἦχος πλ. δ´. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς σοφίας τὸ ὕδωρ καὶ τῆς ζωῆς, ἀναβρύζων τῷ κόσμῳ, πάντας Σωτήρ, καλεῖς τοῦ ἀρύσασθαι, σωτηρίας τὰ νάματα· τὸν γὰρ θεῖον νόμον σου, δεχόμενος ἄνθρωπος, ἐν αὐτῷ σβεννύει, τῆς πλάνης τοὺς ἄνθρακας· ὅθεν εἰς αἰῶνας, οὐ διψήσει, οὐ λήξει, τοῦ κόρου σου Δέσποτα, Βασιλεῦ ἐπουράνιε. Διὰ τοῦτο δοξάζομεν, τὸ κράτος σου, Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν αἰτούμενοι, καταπέμψαι πλουσίως τοῖς δούλοις σου.

* * *

Εἶτα αἱ δ´, ε´ καὶ ϛ´ ᾠδαὶ τῶν κανόνων.

Τῆς ἑορτῆς. Ὠιδὴ δ´.
Ἦχος δ´. Ὁ εἱρμός.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ῥήξας θανάτου τὰς πύλας τῇ σῇ δυνάμει, ὁδοὺς ζωῆς ἐγνώρισας τῆς ἀθανασίας· πύλας δὲ διήνοιξας, τοῖς πίστει κραυγάζουσι· Δόξα τῇ δυνάμει σου, Κύριε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὴν μεσότητα τῶν ὅλων, καὶ τέλος ἔχων, καὶ τῆς ἀρχῆς ὡς ἄναρχος περιδεδραγμένος, ἔστης ἐν τῷ μέσῳ, βοῶν· Τῶν θείων θεόφρονες, δεῦτε δωρεῶν ἀπολαύσατε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὡς Θεὸς καὶ πάντων ἔχων τὴν ἐξουσίαν, ὡς δυνατὸς τὸ κράτος, καθελὼν τοῦ θανάτου πέμπειν ἐπηγγείλω Χριστέ, τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ Πατρὸς προερχόμενον.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νέμεις πλουσίως τὴν χάριν, τοῖς σὲ ὑμνοῦσι, καὶ τὸν ἐκ σοῦ τεχθέντα προαιώνιον Λόγον, Μῆτερ ἀπειρόγαμε, πταισμάτων τὴν ἄφεσιν, τούτοις αἰτουμένη πανάχραντε.

Τῆς Ἁγίας. Ὠιδὴ δ´.
Ἦχος β´. Εἰσακήκοα, Κύριε.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν παθῶν ἀποκτείνασα, τοὺς ἀοράτους θῆρας Γλυκερία, ὁρωμένους θῆρας οὐκ ἐδειλίασας. (δίς)

Δόξα.

Ὃν ἐκήρυττες Κύριον, πρὸ ὀφθαλμῶν ὁρῶσα ἀθληφόρε, ὑπερεῖδες πάντα τὰ τῶν αἰσθήσεων.

Καὶ νῦν. Θεοτοκίον.

Οἱ προστάτιν σε Δέσποινα, καὶ τῆς ψυχῆς Παρθένε προσδοκίαν, εὐσεβῶς πλουτοῦντες οὐκ αἰσχυνθήσονται.

Τῆς ἑορτῆς. Ὠιδὴ ε´.
Ἦχος δ´. Ὁ εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφων, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῶν θείων ἑορτῶν, τὴν μεσότητα φθάσαντες, τὸ τέλειον τῆς ἐνθέου, ἀρετῆς ἐξασκῆσαι, σπουδάσωμεν θεόφρονες.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὡς ὄντως ἱερὰ ἡ παροῦσα πανήγυρις· μεσότητα τῶν μεγίστων, ἑορτῶν γὰρ ὁρίζει, καὶ λάμπει ἀμφοτέρωθεν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νοῦς ἀρχαγγελικός, οὐκ ἰσχύει νοῆσαί σου, τὸν ἄφραστον ἐκ Παρθένου, καὶ πανάχραντον τόκον, Σωτήρ μου πολυέλεε.

Τῆς Ἁγίας. Ὠιδὴ ε´.
Ἦχος β´. Ὁ φωτισμός.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φόβον Θεοῦ, ἐν γαστρὶ διανοίας εἰσδεξαμένη, πνεῦμα σωτηρίου ὁμολογίας, καὶ μαρτυρίου, ἔτεκες γενναιόφρον, παραδόξως στεῤῥῶς ἀθλήσασα, καὶ τὰς ἐναντίας ἀρχὰς θριαμβεύσασα. (δίς)

Δόξα.

Σοῦ τὸ σεπτόν, καὶ μακάριον πάθος ἐκμιμουμένη, ἡ δι᾽ ἀπαθείας σοι συναφθεῖσα, πάσχει προθύμως, ἐν πυρὶ βεβλημένη, ζωοδότα Χριστὲ κραυγάζουσα· Ἕτερον ἐκτός σου Θεὸν οὐκ ἐπίσταμαι.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ φωτεινή, τοῦ ἡλίου νεφέλη λάμψον μοι αἴγλην, λύουσαν τὸν ζόφον τῆς ἁμαρτίας· δίδου μοι χεῖρα, καὶ παθῶν ἐν τῷ βόθρῳ, Θεοτόκε κείμενον ἔγειρον, μόνη τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.

Τῆς ἑορτῆς. Ὠιδὴ ϛ´.
Ἦχος δ´. Ὁ εἱρμός.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μεσότης, Πεντηκοστῆς, ἐφέστηκε σήμερον, ἔνθεν τοῦ θείου μὲν Πάσχα, θειοτάτῳ φέγγει καταυγασθεῖσα, ἐκεῖθεν δέ, τοῦ Παρακλήτου λάμπουσα χάριτι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐλάλεις, ἐν τῷ ναῷ Χριστὲ παριστάμενος, τῶν Ἰουδαίων τοῖς δήμοις, τὴν οἰκείαν δόξαν ἀποκαλύπτων, καὶ προφαίνων, τὴν συμφυΐαν πρὸς τὸν Γεννήτορα.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Γενοῦ μοι, προστασία καὶ τεῖχος ἀκράδαντον, τῶν κοσμικῶν με σκανδάλων, λυτρουμένη μόνη Θεογεννῆτορ, καὶ ταῖς θείαις, φωτοχυσίαις καταλαμπρύνουσα.

Τῆς Ἁγίας. Ὠιδὴ ϛ´.
Ἦχος β´. Ἐν ἀβύσσῳ πταισμάτων.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Λαμπρυνθεῖσα τῇ αἴγλῃ τοῦ Πνεύματος, καὶ τῆς καθαρότητος ταῖς ὡραιότησι, κεκοσμημένη ἔνδοξε, τῷ Δεσπότῃ Χριστῷ νῦν παρίστασαι. (δίς)

Δόξα.

Τὸν καλὸν ὄντως ἆθλον ἀνύσασα, καὶ τῆς εὐσεβείας τὸν δρόμον τελέσασα, δικαιοσύνης εἴληφας, ἐκ Θεοῦ τὸν ἐπάξιον στέφανον.

Καὶ νῦν. Θεοτοκίον.

Γνωστικὴν εὐφροσύνην γινώσκων σε, πάναγνε παθῶν τῆς ἀγνοίας τὸ κάλυμμα, ταῖς σαῖς πρεσβείαις Δέσποινα, ἀποτίθεμαι. Δόξα τῷ κράτει σου.

Ὁ εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·
Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

### Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς.

### Κοντάκιον.
Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων Ποιητὴς καὶ Δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός· Δεῦτε καὶ ἀρύσασθε, ὕδωρ ἀθανασίας· ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν· Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

### Ὁ Οἶκος.

Τὴν χερσωθεῖσάν μου ψυχήν, πταισμάτων ἀνομίαις, ῥοαῖς τῶν σῶν αἱμάτων κατάρδευσον, καὶ δεῖξον καρποφόρον ἀρεταῖς· σὺ γὰρ ἔφης πᾶσι, τοῦ προσέρχεσθαι πρὸς σὲ Λόγε Θεοῦ πανάγιε, καὶ ὕδωρ ἀφθαρσίας ἀρύεσθαι, ζῶν τε καὶ καθαῖρον ἁμαρτίας, τῶν ὑμνούντων τὴν ἔνδοξον καὶ θείαν σου Ἔγερσιν, παρέχων Ἀγαθέ, τὴν ἀπὸ τοῦ ὕψους ἐνεχθεῖσαν ἀληθῶς τοῖς Μαθηταῖς σου, Πνεύματος ἰσχύν, τοῖς σὲ Θεὸν γινώσκουσι· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

### Συναξάριον.

Τῇ ΙΓ´ τοῦ αὐτοῦ μηνὸς μνήμη τῆς Ἁγίας Μάρτυρος Γλυκερίας.

Στίχ. Θηρὸς τὸ πικρὸν δῆγμα τῇ Γλυκερίᾳ
Ὑπὲρ γλυκάζον ὡς ἀληθῶς ἦν μέλι.

Ἐν τριτάτῃ δεκάτῃ δάκε καὶ κτάνε θὴρ Γλυκερίαν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Σεργίου τοῦ Ὁμολογητοῦ.

Στίχ. Ὁ Σέργιός μοι πῶς τελευτᾷς τὸν βίον;
Κοινῷ τέλει τέθνηκα, καὶ ζῶν εἰμί σοι.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Παυσικάκου, Ἐπισκόπου Συννάδων.

Στίχ. Ὁ Παυσικάκου προστρέχων τῷ λειψάνῳ,
Παθῶν κακούντων παῦσιν εὑρίσκει ξένην.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Λαοδίκιος ὁ δεσμοφύλαξ ξίφει τελειοῦται.

Στίχ. Λαοδίκιος ἐν μέσῳ λαῶν, Λόγε,
Θεὸν καλῶν σε πρὸς δίκην ἤχθη ξίφους.

Ὁ Ἅγιος Ἱερομάρτυς Ἀλέξανδρος, Ἐπίσκοπος Τιβεριανῶν, ξίφει τελειοῦται.

Στίχ. Ἀνδρὸς κεφαλὴν ἱεροῦ τέμνει ξίφος,
Αἵματα συζεύξαντος Ἱερωσύνῃ.

Ὁ Ὅσιος Εὐθύμιος ὁ νέος, ὁ κτίτωρ τῆς ἐν Ἄθῳ μονῆς τῶν Ἰβήρων, καὶ Ἰωάννης ὁ Ἴβηρ, ὁ πατὴρ τοῦ ῥηθέντος Εὐθυμίου, καὶ Γεώργιος ὁ συγγενὴς αὐτῶν, ἐν εἰρήνῃ τελειοῦνται.

Στίχ. Θύων ὁ Εὐθύμιος ἁγνὴν θυσίαν,
Ἥλιος ὥσπερ ἐξέλαμψε κατ᾿ Ἄθω.

Λιπὼν τὰ τερπνά, ὦ Ἰωάννη, βίου
Νῦν τοῖς ἀγαθοῖς ἐντρυφᾷς τοῦ Κυρίου.

Ἐκεῖ κατοικεῖς ἔνθα συγγενὲς γένος,
Καύχημ᾿ Ὁσίων, ὦ Γεώργι᾿ εὐθύφρον.

Ὁ Ὅσιος Γαβριὴλ ὁ Ἴβηρ, ὁ θείας φωνῆς ἀκηκοὼς καὶ ἐξαγαγὼν ἐκ τῆς θαλάσσης τὴν θαυματουργὸν εἰκόνα τῆς Πορταϊτίσσης, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Μορφὴν Ἁγνῆς σὺ Γαβριὴλ κρατεῖς ξένως,
Ὢ τῆς χάριτος, ἧς ἔτυχες, τρισμάκαρ!

Οἱ Μοναχοὶ Ὁσιομάρτυρες Ἰβηρῖται, οἱ τοὺς λατινόφρονας ἐλέγξαντες, τὸν βασιλέα, φημί, Μιχαὴλ καὶ τὸν Πατριάρχην Βέκκον, ἐν τῇ θαλάσσῃ βληθέντες, τελειοῦνται.

Στίχ. Ὑπὲρ πατρῴων ἐπνίγητε δογμάτων,
Καὶ πρὸς γαληνοὺς ὡρμίσασθε λιμένας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Νικηφόρου, πρεσβυτέρου τῆς Μονῆς Ἐφάψεως.

Στίχ. Τρέψας φάλαγγας δαιμόνων Νικηφόρος,
Ἀπῆλθεν ἔργῳ πρὸς Θεὸν νικηφόρος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Δικαίου Γαμαλιήλ, τοῦ Νομοδιδασκάλου.

Στίχ. Εἰ ἐκ τῶν καρπῶν γνωρίζεται τὸ δένδρον,
Παῦλος δεικνύει Γαμαλιὴλ ὡς μέγας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πολυβίου, μαθητοῦ τοῦ Ἁγίου Ἐπιφανίου, ὃς ἐγένετο ἐπίσκοπος Ῥινοκούρων (ἢ Ῥινοκορούρων).

Στίχ. Βίον χριστοέραστον ζήσας ἐνθάδε,
Ἐν Χριστῷ Πολύβιος ζῇ αἰωνίως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Εὐφροσύνου τοῦ Ἰβηρίτου.

Στίχ. Κρυπτῶς βιώσας Εὐφρόσυνος ὁ θεῖος,
Καὶ μετὰ θανὴν κέκρυπται παραδόξως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας Γλυκερίας τοῦ Νόβγκοροντ.

Στίχ. Τὸν γλυκὺν Χριστὸν ποθοῦσα Γλυκερία,
Ἤχθη εἰς χορὸν τῶν φρονίμων παρθένων.

Τῇ αὐτῇ ἡμέρᾳ, τὰ Ἐγκαίνια τοῦ ἐν τῇ νήσῳ τῆς Ἁγίας Γλυκερίας σεβασμίου Ναοῦ τῆς Ὑπεραγίας Θεοτόκου τῆς Παντανάσσης.

Στίχ. Ναόν σοι, Παντάνασσα, καθιεροῦμεν,
Πίστει πολλῇ προστρέχοντες τῇ χάριτί σου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Εἶτα αἱ ζ΄ καὶ η΄ ᾠδαὶ τῶν κανόνων.

Τῆς ἑορτῆς. Ὠιδὴ ζ΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι Παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰσχύϊ Σῶτερ τὴν τοῦ θανάτου λύσας δύναμιν, τρίβον τῆς ζωῆς ἐγνώρισας τοῖς θνητοῖς, εὐχαρίστως σοι κραυγάζουσιν· Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σάρκα φοροῦντα, τεθεαμένοι οὐκ ἐπέγνωσαν, δῆμοι τῶν Ἑβραίων Λόγε σε τοῦ Θεοῦ· ἀλλ᾽ ἡμεῖς σοι ἀναμέλπομεν· Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε, διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Τῆς Ἁγίας. Ὠιδὴ ζ΄.
Ἦχος β΄. Εἰκόνος χρυσῆς.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸ κάλλος Χριστοῦ, ἐν ἐσόπτρῳ τῷ τῆς ἁγνείας, κατανοοῦσα ἐπεπόθησας, τοῦτο ἐνθέως ἀοίδιμε· καὶ δραμοῦσα τούτου ὀπίσω, δι᾽ ἀθλήσεως ἔψαλλες· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. (δίς)

Δόξα.

Ὡραίαν στολήν, τῶν αἱμάτων ταῖς βαφαῖς πεποικιλμένην, περιθεμένη καθυπέδειξας, τῆς εὐσεβείας τὴν κόσμησιν, πᾶσιν ἀθληφόρε τοῖς πίστει, ἀνυμνοῦσι καὶ ψάλλουσιν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἰδού σε Ἁγνή, πᾶσα φύσις γηγενῶν δοξολογοῦσιν, ὑπερθαυμάζοντες τὸ μυστήριον, τῆς σῆς κυήσεως ἄχραντε, καὶ χαρμονικῶς ἐκβοῶντες, τῷ ἐκ σοῦ ἀνατείλαντι· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς ἑορτῆς. Ὠιδὴ η΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὡραῖος ἐκ τάφου ἀναστάς, τῇ τῆς Θεότητος δόξῃ κοσμούμενος, τοῖς Ἀποστόλοις σου Κύριε, ἐπεφάνης, τὴν τοῦ Πνεύματος, ἐπαγγελλόμενος αὐτοῖς, πέμπειν ἐνέργειαν, τοῖς βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νεκρώσας τὸν Ἅιδην ὡς Θεός, ζωαρχικώτατε, πᾶσιν ἐπήγασας ζωὴν αἰώνιον, ἥν περ νῦν, εἰκονίζουσι φανότατα, τῶν λαμπροφόρων ἡμερῶν, τούτων αἱ χάριτες, τοῖς βοῶσι· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀκτῖνας ὡς Ἥλιος Χριστέ, δικαιοσύνης φανείς, κόσμῳ ἀπέστειλας, τοὺς Ἀποστόλους σου φέροντας, σὲ τὸ φῶς τὸ ἀκατάληπτον, καὶ τῆς ἀγνοίας τὴν ἀχλὺν ἀποδιώκοντας, καὶ βοῶντας· Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰδοὺ νῦν ἐξέλιπε σαφῶς, ἐκ τῆς Ἰούδα φυλῆς ἄρχων ἡγούμενος· σὺ γὰρ Πανάμωμε τέτοκας, τὰ αὐτῷ πρὶν ἀποκείμενα, τὴν προσδοκίαν τῶν ἐθνῶν, Χριστὸν ᾧ ψάλλομεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς Ἁγίας. Ὠιδὴ η΄.
Ἦχος β΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν τῆς ἁγνείας νοητόν, κεκτημένη ἐραστὴν Χριστὸν νυμφίον, σεαυτὴν ἀθληφόρε, ἐν καθαρότητι νοῦ, καὶ πόνοις θείοις ἐκαλλώπισας, καὶ τούτῳ ἡρμόσθης διὰ τοῦ μαρτυρίου. (δίς)

Στίχ. Εὐλογοῦμεν Πατέρα, Υἱὸν
καὶ ἅγιον Πνεῦμα τὸν Κύριον,
ὑμνοῦντες καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἡ συντριβή σου τῶν μελῶν, ἐξελέπτυνεν ἐχθρῶν μηχανουργίας· τῶν αἱμάτων ἡ ῥύσις, τῆς ἀθεΐας δεινούς, χειμάῤῥους σοφὴ ἀπεξήρανε, πέλαγος θαυμάτων ἡμῖν ἀναδειχθεῖσα.

Καὶ νῦν. Θεοτοκίον.

Σῶσον οἰκτείρησον ἡμᾶς, ἡ τὸν οἰκτίρμονα Θεὸν ἀποτεκοῦσα, ὑπὲρ λόγον Παρθένε, πυρκαϊᾶς λογισμῶν, παθῶν τε ἐξαίρουσα καύσωνα, ταῖς σαῖς ἱκεσίαις ἁγνὴ Θεοκυῆτορ.

Ὁ εἱρμός.

Αἰνοῦμεν, εὐλογοῦμεν,
προσκυνοῦμεν τὸν Κύριον,
ὑμνοῦντες καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

Τὸν ἐν καμίνῳ τοῦ πυρός, τῶν Ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον, μεταβαλόντα Θεόν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος δ΄.

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. Ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

* * *

Ἐκ τῶν Κανόνων ἡ θ΄ ᾠδή.

Τῆς ἑορτῆς. Ὠιδὴ θ΄.
Ἦχος δ΄. Ὁ εἱρμός.

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νέαν καὶ καινὴν πολιτείαν, παρὰ Χριστοῦ μεμαθηκότες ταύτην μέχρι τέλους φυλάττειν, διαφερόντως πάντες, σπουδάσωμεν, ὅπως ἁγίου Πνεύματος, τὴν παρουσίαν ἀπολαύσωμεν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σύ μου τὸ θνητὸν Ζωοδότα, περιβολὴν ἀθανασίας, καὶ τῆς ἀφθαρσίας τὴν χάριν, ἐνδύσας Σῶτερ συνεξανέστησας, καὶ τῷ Πατρὶ προσήγαγες, τὸν χρόνιόν μου λύσας πόλεμον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Εἰς τὴν ἐπουράνιον πάλιν, διαγωγὴν ἀνακληθέντες, τῇ τῆς μεσιτείας δυνάμει, τοῦ κενωθέντος μέχρι καὶ δούλου μορφῆς, καὶ ἡμᾶς ἀνυψώσαντος, τοῦτον ἀξίως μεγαλύνωμεν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὡς ῥίζαν, πηγὴν καὶ αἰτίαν, τῆς ἀφθαρσίας σε Παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν· σὺ γὰρ τὴν ἐνυπόστατον, ἀθανασίαν ἡμῖν ἔβλυσας.

Τῆς Ἁγίας. Ὠιδὴ θ΄.
Ἦχος β΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπεραρθεῖσα ἁπάσης, σαρκικῆς προσπαθείας, τῷ πόθῳ τοῦ νυμφίου σου σεμνή, ἄσαρκον βίον ἐπόθησας· διὸ σὺν τοῖς ἀΰλοις, Χριστὸν τὸν ἐραστήν σου νοερῶς, καθορῶσα δοξάζεις, ὡς πάντων ποθεινότερον. (δίς)

Δόξα Πατρὶ καὶ Υἱῷ
καὶ Ἁγίῳ Πνεύματι.

Μετὰ πολλὰς τὰς βασάνους, τὸ ἀκίβδηλον πνεῦμα, Κυρίῳ παραδέδωκας τὸ σόν, οὗ τῇ ἀνόδῳ ἐκρότησαν, ἐπουράνιαι τάξεις· Χριστὸς δὲ παναλκεῖ σε δεξιᾷ, ἐστεφάνωσε Μάρτυς, νομίμως ἐναθλήσασαν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἡ ταῖς φωναῖς καμπτομένη, τῶν θερμῶς σε αἰτούντων, ἡ μόνη τῶν πιστῶν καταφυγή, σῶσον οἰκτείρησον Δέσποινα, διατήρησον βλάβης, ἐκ πάσης καὶ ἐχθρῶν ἐπιβουλῆς, τοὺς ἐν πίστει καὶ πόθῳ ἀεί σε μεγαλύνοντας.

Ὁ εἱρμός.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀῤῥήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδάμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς, ἐξ Ἁγίας Παρθένου, ἀφράστως σαρκωθέντα δι᾽ ἡμᾶς, οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕμνοις μεγαλύνομεν.

Καί·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς * μακαρίζειν σε τὴν Θεοτόκον, * τὴν ἀειμακάριστον καὶ παναμώμητον * καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. * Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως * Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐξαποστειλάριον τῆς ἑορτῆς.
Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ τὸν κρατῆρα ἔχων, τῶν ἀκενώτων δωρεῶν, δός μοι ἀρύσασθαι ὕδωρ, εἰς ἄφεσιν ἁμαρτιῶν· ὅτι συνέχομαι δίψῃ, Εὔσπλαγχνε μόνε Οἰκτίρμον. (δίς)

* * *

## ΑΙΝΟΙ

Ἦχος γ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἡ Στιχολογία (Ψαλμοὶ ρμη΄, ρμθ΄) καί·

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑπόμενα Στιχηρὰ Ἀναστάσιμα. Ἦχος γ΄.

Στίχ. α΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Δεῦτε πάντα τὰ ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν· Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι᾿ ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. Αὐτὸν προσκυνήσωμεν.

Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε· ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασίν σου, ἣν ὁ κόσμος δοξάζει. Ἐλέησον ἡμᾶς.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Χαρᾶς τὰ πάντα πεπλήρωται, τῆς Ἀναστάσεως τὴν πεῖραν εἰληφότα· Μαρία γὰρ ἡ Μαγδαληνὴ ἐπὶ τὸ μνῆμα ἦλθεν, εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα, καὶ λέγοντα· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ᾿ ἐγήγερται, καθὼς εἶπε, προάγων ἐν τῇ Γαλιλαίᾳ.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἐν τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς φιλάνθρωπε, ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος, ἵνα σε πᾶσα κτίσις δοξολογῇ, τὸν μόνον ἀναμάρτητον. Ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος δ΄.

Φωτισθέντες ἀδελφοί, τῇ Ἀναστάσει τοῦ Σωτῆρος Χριστοῦ, καὶ φθάσαντες τὸ μέσον τῆς Ἑορτῆς τῆς δεσποτικῆς, γνησίως φυλάξωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, ἵνα ἄξιοι γενώμεθα καὶ τὴν Ἀνάληψιν ἑορτάσαι, καὶ τῆς παρουσίας τυχεῖν τοῦ ἁγίου Πνεύματος.

* * *

## ΔΟΞΟΛΟΓΙΑ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τὴν μικρὰν δοξολογίαν ὡς ἀκολούθως.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα· * συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε· * φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· * τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, * σοὶ πρέπει ὕμνος, * σοὶ δόξα πρέπει, * τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, * νῦν καὶ ἀεὶ * καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἱερεύς· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν... καὶ τὴν εὐχὴν τῆς κεφαλοκλισίας, καὶ οἱ χοροὶ τὰς οἰκείας ἀποκρίσεις· Κύριε, ἐλέησον. Παράσχου, Κύριε, κτλ.

* * *

## ΤΑ ΑΠΟΣΤΙΧΑ

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς.

Ἦχος β´. Οἶκος τοῦ Ἐφραθᾶ.

Νάουσα ἡ πηγή, τῆς σῆς σοφίας πόμα πνευματικὸν πηγάζει, οὗ πίνοντες δογμάτων ἐνθέων ἐμπιπλώμεθα.

Στίχ. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς· ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. (Ψαλμ. ογ´ 2)

Τέτρωται τὸ δεινόν, Ἑβραίων ὄντως γένος, ἀκουόντων σου Λόγε, διδάσκοντος τοῖς ὄχλοις, σωτήρια διδάγματα.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. (Ψαλμ. ογ´ 12)

Ἧκες ὁ Πλαστουργός, ἐν τῇ Σιὼν καὶ ἔστης, ἐν μέσῳ τοῦ λαοῦ σου· καὶ τοῖς λαοῖς ἐδίδως, τὴν χάριν τὴν σωτήριον.

Δόξα. Καὶ νῦν. Ἦχος δ´.

Κύριε, πρὸ τοῦ ἀχράντου σου Σταυροῦ, τῆς Ἑορτῆς μεσούσης, ἐν τῷ ἱερῷ ἀνῆλθες. Ἰουδαίους παῤῥησίᾳ διδάσκων τὰ Μωσέως, καὶ ἐν νόμῳ διά σοῦ νομοθετηθέντα· ἐκπληττόμενοι δὲ Χριστέ, τῆς σῆς σοφίας τὸ ἄφραστον μυστήριον, τὴν κατὰ σοῦ σκευωρίαν ἐν ἑαυτοῖς φθόνῳ ἐμελέτων. Πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; ἀγνοοῦντες, σὲ τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

* * *

Εἶτα ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ψαλμ. ϟα´ 2-3)

Ὁ ἀναγνώστης τὸ τρισάγιον κτλ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς τῆς Μεσοπεντηκοστῆς. Ἦχος πλ. δ´.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

Καὶ Ἀπόλυσις.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν… (ἐκ γ΄).

Ὁ διάκονος τὰ εἰρηνικὰ
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα…

Τὰ Ἀντίφωνα τοῦ Πάσχα.

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ξε΄ (65).

Στίχ. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. (ξε΄ 1)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, * Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. (ξε΄ 2)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. (ξε΄ 3)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου Ὕψιστε. (ξε΄ 4)

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι σὸν τὸ κράτος…

Ἀντίφωνον Β΄. Ἦχος β΄. Ψαλμὸς ξστ΄ (66).

Στίχ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. (ξϚ΄ 2)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, * ὁ ἀναστὰς ἐκ νεκρῶν, * ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριον σου. (ξϚ΄ 3)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς …

Στίχ. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. (ξϚ΄ 4)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς …

Στίχ. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. (ξϚ΄ 8)

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς …

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, * ἀθάνατος ὑπάρχων * καὶ καταδεξάμενος * διὰ τὴν ἡμετέραν σωτηρίαν * σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου * καὶ ἀειπαρθένου Μαρίας, * ἀτρέπτως ἐνανθρωπήσας, * σταυρωθείς τε, Χριστὲ ὁ Θεός, * θανάτῳ θάνατον πατήσας, * εἷς ὢν τῆς ἁγίας Τριάδος, * συνδοξαζόμενος τῷ Πατρὶ * καὶ τῷ ἁγίῳ Πνεύματι, * σῶσον ἡμᾶς.

Ὁ διάκονος τὴν μικρὰν συναπτὴν
καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος…

Ἀντίφωνον Γ΄. Ἦχος πλ. α΄. Ψαλμὸς ξζ΄ (67).

Στίχ. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. (ξζ΄ 2)

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Στίχ. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. (ξζ΄ 3)

Χριστὸς ἀνέστη…

Στίχ. Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ. (ξζ΄ 3-4)

Χριστὸς ἀνέστη…

* * *

### ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.
(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. (ξζ΄ 27) Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

Καὶ ψάλλεται τὸ ἀπολυτίκιον τῆς ἑορτῆς
τῆς Μεσοπεντηκοστῆς. Ἦχος πλ. δ΄.

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα· ὅτι πᾶσι Σωτὴρ ἐβόησας· Ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω. Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεός, δόξα σοι.

Εἰ βούλει καὶ τὸ τῆς Ἁγίας Γλυκερίας.
Ἦχος γ΄. Τὴν ὡραιότητα. Γερασίμου.

Τὴν καλλιπάρθενον, Χριστοῦ τιμήσωμεν, τὴν ἀριστεύσασαν πόνοις ἀθλήσεως, καὶ ἀσθενείᾳ τῆς σαρκός, τὸν ὄφιν καταβαλοῦσαν· πόθῳ γὰρ τοῦ Κτίσαντος, τῶν βασάνων τὴν ἔφοδον, παρ᾿ οὐδὲν ἡγήσατο, καὶ θεόθεν δεδόξασται· πρὸς ἣν ἀναβοήσωμεν πάντες· χαίροις θεόφρον Γλυκερία.

Εἶτα τὸ ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον τῆς ἑορτῆς τῆς Μεσοπεντηκοστῆς.
(Ψάλλεται ἀπὸ τῆς ἡμέρας τῆς ἑορτῆς μέχρι
τῆς ἀποδόσεως αὐτῆς πλὴν τῆς Κυριακῆς τῆς
Σαμαρείτιδος, καθ᾿ ἣν ψάλλεται τὸ τοῦ Πάσχα).
(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, * ὁ τῶν ἁπάντων ποιητὴς καὶ δεσπότης * πρὸς τοὺς παρόντας ἔλεγες, * Χριστὲ ὁ Θεός· * Δεῦτε καὶ ἀρύσασθε * ὕδωρ ἀθανασίας· * ὅθεν σοι προσπίπτομεν * καὶ πιστῶς ἐκβοῶμεν· * Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· * σὺ γὰρ ὑπάρχεις * πηγὴ τῆς ζωῆς ἡμῶν.

* * *

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

* * *

ΑΠΟΣΤΟΛΟΣ

(Τῆς ἡμέρας, τῷ Σαββάτῳ τῆς δ΄ ἑβδομάδος).
(Πρξ. ιβ΄ 1-11).

Προκείμενον καὶ Ἀλληλούϊα τοῦ Σαββάτου.

ΑΠΟΣΤΟΛΟΣ

Προκείμενον. Ἦχος πλ. β΄. Ψαλμὸς λα΄.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. (λα΄ 11)

Στίχ. α΄. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. (λα΄ 1)

Στίχ. β΄. Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. (λα΄ 2)

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κατ᾿ ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων· ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Ἐποίησε δὲ οὕτω. Καὶ λέγει αὐτῷ· Περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύ-

λην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς, καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ εἶπε· Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Ἀλληλούϊα. Ἦχος πλ. β΄. Ἐκλογή.

Στίχ. α΄. Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· κατασκηνώσουσιν ἐν ταῖς αὐλαῖς σου. (ξδ΄ 5)

Στίχ. β΄. Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ἡρετίσατο. (κδ΄ 12)

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην (η΄ 31-42).
(Τῆς ἡμέρας, τῷ Σαββάτῳ τῆς δ΄ ἑβδομάδος).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. Ἀπεκρίθησαν αὐτῷ· Σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας. Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ ὄντως ἐλεύθεροι ἔσεσθε. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. λέγει αὐτοῖς ὁ Ἰησοῦς· Εἰ τέκνα τοῦ Ἀβραάμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον οὖν αὐτῷ· Ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν Θεόν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ, ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω.

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ γίνεται τὸ κήρυγμα τοῦ θείου λόγου.

* * *

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία
τοῦ Ἱεροῦ Χρυσοστόμου.

* * *

Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας…

Ἄξιόν ἐστιν ὡς ἀληθῶς * μακαρίζειν σε τὴν Θεοτόκον, * τὴν ἀειμακάριστον καὶ παναμώμητον * καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. * Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν * ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως * Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.

* * *

Κοινωνικόν. (Ψαλμὸς λβ΄).

Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἀλληλούϊα.

ἢ (Ψαλμὸς ξδ΄-ρα΄).

Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν…

Ἦχος πλ. α΄.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…

Ἦχος β΄.

Πληρωθήτω τὸ στόμα ἡμῶν * αἰνέσεώς σου, Κύριε, * ὅπως ἀνυμνήσωμεν τὴν δόξαν σου, * ὅτι ἠξίωσας ἡμᾶς * τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· * τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, * ὅλην τὴν ἡμέραν * μελετῶντας τὴν δικαιοσύνην σου. * Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον * ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)

Ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν...

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

* * * * *